φλὸξ, ἀλλὰ ψυχῶν καὶ σωμάτων, ἀδικίας καὶ παρανομίας. ἀπὸ γὰρ τούτων ἀνάπτεσθαι πέφυκεν αὕτη τῆς φλογὸς ἡ φύσις. οὔτε γὰρ πλουτοῦντες οὐδαμοῦ τῆς ἀτόπου ταύτης ἵστανται ἐπιθυμίας, κἂν ἅπασαν περιβάλλωνται τὴν οἰκουμένην. οὔτε πένητες ἐπείγονται φθάσαι ἐκείνους, καὶ λύσσα τις ἀνίατος καὶ μανία ἀκάθεκτος, καὶ νόσος ἀδιόρθωτος τὰς πάντων κατέχει ψυχάς. καὶ πάντα ἔρωτα οὗτος νικήσας ὁ ἔρως καὶ παρωσάμενος ἐξέβαλε τῆς ψυχῆς. καὶ οὔτε φιλίας λόγος, οὔτε συγγενείας· καὶ τί λέγω φιλίας καὶ συγγενείας; οὐ γυναικὸς καὶ παίδων, οὗ τί γένοιτ' ἂν ἀνδράσι ποθεινότερον; ἀλλὰ πάντα χαμαὶ ἔρριπται καὶ καταπεπάτηται, τῆς ὠμῆς ταύτης καὶ ἀπανθρώπου τῶν ἁλόντων δεσποίνης τὰς ψυ-

*di) sed animarũ & corporum, iniustitiæ & iniquitatis. Hæc enim flamma naturâ cõparata est, vt istis rebus accendatur. Nam & diuites absurdæ huic cupiditati nusquam terminum cõstituunt, quanquam oẽm terrarum orbem comparauerint; & pauperes connituntur illos præuenire: ac rabies quædam incurabilis, furor effrenatus, morbus insanabilis omniũ animos obtinet. Hic amor oẽm amorem deuictũ & repulsũ eiecit ex animo. Neq; amicitiæ ratio habetur, neq; cognationis. quid dico, amicitiæ & cognationis? nõ vxoris & liberûm, quo q̃d viris esse queat charius? sed omnia humi abiecta, & cõculcata sunt, vbi crudelis isthæc et inhumana*